δύναμις ἐφ' ἑκάτερα ἐπιχειρεῖ, ἐπί τε τὸ ἀγαθὸν καὶ τὸ κακόν, τὸ δὲ ἐφ' ἑκάτερα ἐπιχειροῦν οὐκ ἔστιν ἀγαθόν· τί οὖν ἔχοντες ἐκ τοῦ θεοῦ τὸ αὐτοκίνητον, οὐκ ὀφείλομεν ἀεὶ ἀγαθὸν ἔχειν. φαμέν, ὅτι αὐτὸς μὲν τὸ αὐτοκίνητον δέδωκεν, καὶ οὐκ ἔστιν αἴτιος ἡμῶν ἁμαρτανόντων· δέδωκεν δὲ ἡμῖν καὶ κοινὰς ἐννοίας, καθ' ἃς ὀφείλομεν κρίνοντες παραβάλλειν τὰ πραττόμενα καὶ μὴ διαπράττεσθαι τὸ χεῖρον. οὕτως οὖν καὶ ὀφθαλμοὺς ἐπ' ἀγαθῷ δέδωκεν ἡμῖν, ἀλλ' ἡμεῖς ἐπὶ κακῷ ἔστιν ὅτε χρώμεθα αὐτοῖς· οὕτω γοῦν καὶ ὁ Ἀλέξανδρος ἀκολάστοις ὀφθαλμοῖς ἐθεάσατο τὴν Ἑλένην.

2 ἰστέον δέ, ὅτι καὶ ἀπολογεῖται ὑπὲρ τῆς ἰδίας τέχνης ὁ Γοργίας· δεῖ γὰρ εἰδέναι, ὅτι εἰς τὸ Ἄργος ἀπῆλθεν ὁ Γοργίας, καὶ οὕτως ἀπεχθῶς εἶχον ἐκεῖνοι πρὸς αὐτόν, ὅτι καὶ ποινῇ ὑπέβαλον τοὺς φοιτῶντας παρ' αὐτῷ· λέγει οὖν, ὅτι οὐ δεῖ μισεῖν τοὺς διδασκάλους τῆς ῥητορικῆς· ὥσπερ γὰρ ὁ παιδοτρίβης καὶ ὁ παγκρατιαστὴς καὶ ὁ διδάσκων ὅπλοις μάχεσθαι οὐκ εἰσὶν μεμπταῖοι, ἀλλ' οἱ μαθόντες καὶ κακῶς αὐτοῖς κεχρημένοι, οὕτως καὶ ὁ διδάσκαλος τῆς ῥητορικῆς οὐκ ἔστιν αἴτιος, ἀλλ' οἱ μανθάνοντες καὶ κακῶς αὐτῇ χρώμενοι. φαμὲν δέ, ὅτι καὶ οἱ διδάσκοντες αὐτὴν αἴτιοί εἰσιν· εἰ γὰρ ἔλεγον, ὅτι μὴ χρήσῃ τῷ κακῷ, ἄμεμπτοι ἦσαν, νῦν δὲ οὐ

---

12 cf. schol. in Plat. p. 304

---

2 mg. ἀπορία 4 mg. λύσις 12 mg. ση 16 mg. ad verb. παιδοτρίβης: ἀλείπτης γυμναστής ad verb. παγκρατιαστής: ὁ παγκράτιον ἀγωνιζόμενος· ἔστι δὲ τοῦτο ἀγών τις ἐξ ἀτελοῦς πάλης καὶ ἀτελοῦς πυγμῆς συγκείμενος· καὶ δήλη μὲν ἡ πάλη, πυγμὴ δὲ τὸ πρὶν ἐσκευάζετο οὕτως· εἰς στρόφιον, ὅ ἐστι στρογγύλον ζωνάριον, οἱ τέσσαρες τῶν δακτύλων ἐνεβιβάζοντο καὶ ὑπερέβαλλον τοῦ στροφίου τοσοῦτον, ὅσον, εἰ συνάγοιντο, πὺξ εἶναι. ξυνείχοντο δὲ ὑπὸ σειρᾶς, ἣν καθάπερ ἔρεισμα ἐβέβληντο ἐκ τοῦ πήχεος· νυνὶ δὲ αὖ μεθέστηκε· ῥινοὺς γὰρ τῶν πιοτάτων βοῶν ἕψοντος ἱμάντα ἐργάζονται πυκτικὸν ὀξὺν καὶ προεμβάλλοντα· ὁ δέ γε ἀντίχειρ οὐ συλλαμβάνει τοῖς δακτύλοις τὸ πλήττειν ὑπὲρ συμμετρίας τῶν τραυμάτων, ὡς μὴ πᾶσα ἡ χεὶρ μάχοιτο. ταῦτα Φιλόστρατος ἐν τῷ περὶ γυμναστικῆς (cf. schol. in Plat. p. 333; Philostratos: Über Gymnastik ed. Jul. Jüttner, p. 140, 17 sq.; 3 sqq.)

---

17 μεμπταῖοι] ς μεμπτεῖοι M